Χο. καὶ ταῦτ᾽ ἔλεξας πάντα συγκόλλως ἐμοί.
Βα. καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο.
Χο. καὶ Ζεύς γ᾽ ἐφάπτωρ χειρὶ φιτύει γόνον.
Βα. τίς οὖν ὁ Δῖος πόρτις εὔχεται βοός;
Χο. Ἔπαφος, ἀληθῶς ῥυσίων ἐπώνυμος.
Βα. ⟨Ἐπάφου δὲ τίς . . .⟩
Χο. Λιβύη, μέγιστον γῆς . . . καρπουμένη.
Βα. τίν᾽ οὖν ἔτ᾽ ἄλλον τῆσδε βλαστημὸν λέγεις;
Χο. Βῆλον δίπαιδα, πατέρα τοῦδ᾽ ἐμοῦ πατρός.
Βα. τὸ πάνσοφον νῦν ὄνομα τούτου μοι φράσον.
Χο. Δαναός, ἀδελφὸς δ᾽ ἐστὶ πεντηκοντάπαις.
Βα. καὶ τοῦδ᾽ ἄνοιγε τοὔνομ᾽ ἀφθόνῳ λόγῳ.
Χο. Αἴγυπτος. εἰδὼς δ᾽ ἁμὸν ἀρχαῖον γένος
πράσσοις ἄν, ὡς Ἀργεῖον ἀντήσας στόλον.
Βα. δοκεῖτε ⟨δή⟩ μοι τῆσδε κοινωνεῖν χθονὸς
τἀρχαῖον· ἀλλὰ πῶς πατρῷα δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
Χο. ἄναξ Πελασγῶν, αἰόλ᾽ ἀνθρώπων κακά,
πόνου δ᾽ ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν·
ἐπεὶ τίς ηὔχει τήνδ᾽ ἀνέλπιστον φυγὴν
κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρίν,
ἔχθει μεταπτοιοῦσαν εὐναίων γάμων;
Βα. τί φῂς ἱκνεῖσθαι τῶνδ᾽ ἀγωνίων θεῶν,
λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους;
Χο. ὡς μὴ γένωμαι δμωὶς Αἰγύπτου γένει.